πέδοι πατοῦντες οὐ καθεύδουσιν χερί.
Aesch. ◆◆ οὐκ οἶδα βουλῆς ἧστινος τυχὼν λέγω·
Ag. τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.
ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;
ἀλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ κατθανεῖν κρατεῖ·
◆◆◆ πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
σάφ' εἰδότας χρὴ τῶνδε θυμοῦσθαι πέρι·
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως.|
πολλῶν πάροιθεν καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
1376 φάρξειεν, ὕψος κρεῖσσον ἐκπηδήματος;
1379 ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.
οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι·
ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον,
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.
L1[O] παίω δέ νιν δίς· κἂν δυοῖν οἰμωγμάτοιν
𝔸 μεθῆκεν αὑτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
1387 Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
1389 κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῆι ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότωι
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.|
εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῶι,
τῶιδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν.
τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.|
πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
ἐγὼ δ' ἀτρέστωι καρδίαι πρὸς εἰδότας
λέγω·σὺ δ' αἰνεῖν εἴτέ με ψέγειν θέλεις
ὅμοιον. οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ, τῆσδε δεξιᾶς χερὸς
1406 ἔργον, δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.|
1412 ◆ νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀρὰς,
1414 οὐδὲν τόδ' ἀνδρὶ τῶιδ' ἐναντίον φέρων·

A1
A3
A6

premiere	prize	trilogy	satyr play
458 BCE	?	**Ag.**	Proteus
		Choe.	
		Eum.	

ALPHABETICAL ORDER

A1 A3 A6

COMPANION TO

AESCHYLUS

THE ORESTEIA

ΑΓΑΜΕΜΝΟΝ

ΕΥΜΕΝΙΔΕΣ

ΧΟΗΦΟΡΟΙ

METRICAL
TRIMETERS

BARD LINES .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

language: Greek (tragic trimeters)
copy text: Dindorf (Teubner 1870)
typeface: Sea Hand Press 20

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 2109 lines 3.0

PRINT TWO-SIDED: **3 to 26**

MORNING	MIDDAY	MIDDAY	EVENING
4L 𝔸 1-750	**2L** 𝔹 751-1150	**2L** ℂ 1151-1550	**3L** 𝔻 1551-2107

ΘΕΟΥΣ μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
φρουρᾶς ἐτείας μῆχος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι.
†ἀστέρας† ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην,
λύζω· φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνωι·
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλάω τότ' οἴκου τοῦδε συμφορὰν στένων
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτὴρ νυκτός, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
24 πολλῶν ἐν Ἄργει τῆσδε συμφορᾶς χάριν.
26 Ἀγαμέμνονος γυναικὶ σημανῶ τορῶς
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῆιδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλ<λ>ων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῆιδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσηι μέγας
βέβηκεν. οἶκος δ' αὐτός, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν. ὡς ἑκὼν ἐγὼ
38 μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.|
258 ἥκω σεβίζων σόν, Κλυταιμήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσηι φθόνος.|
εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα·
πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλυεῖν·
Πριάμου γὰρ ἡιρήκασιν Ἀργεῖοι πόλιν.|
πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.|
269 Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;|

ἄραρε γάρ τις ὅρκος ἐκ θεῶν μέγας,
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.|
ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' <αὖ> σοφή
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὐτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;|
οὐκ ἔστ' ἄλυξις, οὔ, ξένοι, χρόνωι πλέω.|
ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.|
ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῆι.|
ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.|
ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῶι.|
οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.|
ἰὼ πάτερ σοῦ σῶν τε γενναίων τέκνων.|
τί δ' ἐστι χρῆμα; τίς σ' ἀποστρέφει φόβος;| 1306
τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.| 1308
φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.|
καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων.|
ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.|
οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις. |
ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος. 1314
οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβωι, 1316
ἀλλ' ὡς θανούσηι μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνηι,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσηι.
ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.|
ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.|
ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίωι δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις
ἐχθροῖς φόνευσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ,
δούλης θανούσης, εὐμαροῦς χειρώματος.
ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχοῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτίρω πολύ.| 1330
σῖγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;| 1344
ὤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος.| 1345
ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω, 1348
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.
ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν σὺν νεορρύτωι ξίφει.
κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.
ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.
χρονίζομεν γάρ, οἱ δὲ τῆς μελλοῦς κλέος 1356

δοκεῖ δὲ χαίρειν νοστίμωι σωτηρίαι.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σύ μ' ἐν τάχει παρὼν
ἄγαν ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.|
τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ' ἔχει
κλυόντ' ἀληθῶς οὐδὲν ἐξεικασμένα.
τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.|
Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.|
εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.|
ἀλλ' οὔτι παιὼν τῶιδ' ἐπιστατεῖ λόγωι.|
οὔκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.|
σὺ μὲν κατεύχει, τοῖς δ' ἀποκτείνειν μέλει.|
τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄχος πορσύνεται;|
ἦ κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν.|
τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.|
καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.|
καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ' ὅμως.|
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκωι, λέοντος εὐγενοῦς ἀπουσίαι,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει ποτῶι,
κἀπεύχεται θήγουσα φωτὶ φάσγανον
ἐμῆς ἀγωγῆς ἀντιτίσεσθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρηι στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ' εἰς φθόρον πεσόντ', ἐγὼ θ' ἅμ' ἕψομαι.
ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ', ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
φίλων, ὑπ' ἐχθρῶν, οὐ διχορρόπως, μάτην.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' εἰς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει,
θερμῶι κοπεῖσαν φοινίωι προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν·
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ἥξειν τιν' ὑπτίασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω;
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν, οἳ δ' εἷχον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
ἰοῦσα κἀγὼ τλήσομαι τὸ κατθανεῖν·

χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.|
εὖ γὰρ φρονοῦντος ὄμμα σου κατηγορεῖ.|
ἦ γὰρ τι πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;|
ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.|
πότερα δ' ὀνείρων φάσματ' εὐπιθῆ σέβεις;|
οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.|
ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;|
παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.|
ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;|
τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.|
καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;|
Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο,
ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν {...}
πεύκη, τὸ χρυσοφεγγές, ὥς τις ἥλιος,
σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
ὁ δ' οὔ τι μέλλων οὐδ' ἀφρασμόνως ὕπνωι
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω,
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί·
σθένουσα λαμπὰς δ' οὐδέ πω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρὰ προσαιθρίζουσα πόμπιμον φλόγα·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος·
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνοι μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κατόπτην πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν, ἔς τ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν εἰς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾶι δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο σύμβολόν τέ σοι λέγω
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.|
θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διανεκῶς θέλοιμ' ἄν, οὓς λέγεις, πάλιν.|
Τροίαν Ἀχαιοὶ τῆιδ' ἔχουσ' ἐν ἡμέραι.

οἶμαι βοὴν ἄμικτον ἐν πόληι πρέπειν.
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῶι κύτει
διχοστατοῦντ' ἂν, οὐ φίλω, προσεννέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς.
οἵ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον·
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαχθέντες, ὡς δὲ δαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὖ σέβουσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὔ τἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτοι στρατῶι
πορθεῖν ἃ μὴ χρὴ, κέρδεσιν νικωμένους.
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατὸς,
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις·
τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.|
γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι·
354 χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.|
489 τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς,
εἴτ' οὖν ἀληθεῖς εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας.
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλάας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτέ σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῶι πυρὸς,
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
ὅστις τάδ' ἄλλως τῆιδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.|
ἰὼ πατρῶιον οὖδας Ἀργείας χθονὸς,
504 δεκάτου σε φεγγει τῶιδ' ἀφικόμην ἔτους,

ῥινηλατούσηι τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
σύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων·
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῶι πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ θηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προυμόσας τό μὴ εἰδέναι| 1196
καὶ πῶς ἂν ὅρκου πῆ≤γ≥μα γενναίως παγὲν 1198
παιώνιον γένοιτο; θαυμάζω δέ σε
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.|
μάντίς μ' Ἀπόλλων τῶιδ' ἐπέστησεν τέλει.|
μῶν καὶ θεός περ ἱμέρωι πεπληγμένος;|
προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.|
ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.|
ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.|
ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτην νόμωι;|
ξυναινέσασα Λοξίαν ἐψευσάμην.|
ἤδη τέχνησιν ἐνθέοις ἡιρημένη;|
ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.|
πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότωι;|
ἔπειθον οὐδέν' οὐδὲν, ὡς τάδ' ἤμπλακον.|
ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.| 1213
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος 1215
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους 1217
νέους, ὀνείρων προσφερεῖς μορφώμασι_;
παῖδες θανόντες, ὡσπερεὶ πρὸς οὐ φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ,
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρόν, οἴμοι, τῶι μολόντι δεσπότηι
ἐμῶι· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν·
νεῶν τ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λεξασα κἀκτείνασα φαιδρόνους, δίκην
ἄτης λαθραίου, τεύξεται κακῆι τύχηι·
τοιάδε τόλμα_ θῆλυς ἄρσενος φονεὺς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλάν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μητέρ' ἄσπονδόν τ' Ἄρη
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῆι.

πείθοι' ἄν, εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.|
Aesch. 1050 ◆◆ ἀλλ' εἴπερ ἐστι μὴ χελιδόνος δίκην
Ag. ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
εἴσω φρενῶν λέγουσα πείθω νιν λόγωι.|
ἕπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.
1054 πιθοῦ λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.|
1056 τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρὸς,
◆◆◆ {...} ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
1060 εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνωι χερί.|
ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.|
ἢ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
1065 ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει, χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.|
L3[O] ἐγὼ δ', ἐποικτίρω γάρ, οὐ θυμώσομαι.
𝔸 ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
1071 ε<ἴ>κουσ' ἀνάγκηι τῆιδε καίνισον ζυγόν.|
1074 🎶 τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
1075 🎶 οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.|
1078 🎶 ἥδ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ,
1079 🎶 οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν.|
1082 🎶 ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.|
1083 🎶 χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν·
1084 🎶 μένει τὸ θεῖον δουλίαι περ ἐν φρενί.|
1087 🎶 ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;|
1088 🎶 πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
1089 🎶 ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.|
1093 🎶 ἔοικεν εὔρις ἡ ξένη κυνὸς δίκην
1094 🎶 εἶναι, ματεύει δ' ὧν ἀνευρήσει φόνον.|
1097 🎶 ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
1098 🎶 ἦ μὴν κλέος σου μαντικὸν πεπυσμένοι
1099 🎶 ἦισμεν, προφήτας δ' οὔτινας ματεύομεν.|
1102 🎶 μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν|
1105 🎶 τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων.
1106 🎶 ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾶι.|
1109 🎶 λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;|
1112 🎶 οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
1113 🎶 ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.|
1178 καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
1180 λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσάιξειν, ὥστε κύματος δίκην
◆ κλύ<ζ>ειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
550 1184 καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν

🗞️ πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών·
🗞️ οὐ γάρ ποτ' ηὔχουν τῆιδ' ἐν Ἀργείαι χθονὶ Aesch.
🗞️ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος. Ag.
🗞️ νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος,
🗞️ ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ,
🗞️ τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη· 510
🗞️ ἅλις παρὰ Σκάμανδρον ἦσθ' ἀνάρσιος·
🗞️ νῦν {δ'} αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος,
🗞️ ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
🗞️ πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
🗞️ Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας, 515
🗞️ ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
🗞️ στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
🗞️ ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
🗞️ σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
🗞️ εἴ που πάλαι, φαιδροῖσι καὶ νῦν ὄμμασι 520
🗞️ δέξασθε κόσμωι βασιλέα πολλῶι χρόνωι.
🗞️ ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνηι φέρων
🗞️ καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
🗞️ ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
🗞️ Τροίαν κατασκάψαντα τοῦ δικηφόρου 525
🗞️ Διὸς μακέλληι, τῆι κατείργασται πέδον.
🗞️ {βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,}
🗞️ καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
🗞️ τοιόνδε Τροίαι περιβαλὼν ζευκτήριον
🗞️ ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ 530 L3[O]
🗞️ ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν 𝔸
🗞️ τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
🗞️ ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
🗞️ ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
🗞️ τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον 535
🗞️ αὐτόχθονον πατρῷιον ἔθρισεν δόμον.
🗞️ διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.|
κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.| 538
ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν.| 540
🗞️ ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.|
τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου.|
🗞️ πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.|
τῶν ἀντερώντων ἱμέρωι πεπληγμένοι.|
🗞️ ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις;| 545
πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.| 548
🗞️ καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;|
ὡς νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις.| 550
🗞️ εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῶι χρόνωι
🗞️ τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
🗞️ τὰ δ' αὖτε κἀπίμομφα· τίς δὲ πλὴν θεῶν
🗞️ ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
🗞️ μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας, {...}
🗞️ σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ' οὐ
🗞️ στένοντες, οὐ λαχόντες ἤματος μέρος; 557 200

τὰ δ' αὖτε χέρσωι καὶ προσῆν πλέον στύγος·
◆◆ εὐναὶ γὰρ ἦσαν δαΐων πρὸς τείχεσιν.
ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος
ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
◆◆◆ κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών·
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν.
τί τοὺς ἀναλωθέντας ἐν ψήφωι λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου;
καὶ πολλὰ χαίρειν συμφοραῖς καταξιῶ
{...} ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾶι τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τῶιδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις·
{...} "Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος."
τοιαῦτα χρὴ κλυόντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τόδ' ἐκπράξασα. πάντ' ἔχεις λόγον.|
L3[I] νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
𝔸 αἰεὶ γὰρ ἡβᾶι τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμήστραι μέλειν
εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.|
ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός,
φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
καί τίς μ' ἐνίπτων εἶπε, "φρυκτώρων δία
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ."
λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην.
ὅμως δ' ἔθυον, καὶ γυναικείωι νόμωι
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει·
Aesch. ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
Ag. ◆ γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
250 ἐσθλὴν ἐκείνωι, πολεμίαν τοῖς δύσφροσιν,

οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.|
τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.|
ἦ καὶ σὺ νίκην τῆσδε δήριος τίεις;|
πιθοῦ· κρατεῖς μέντοι παρεὶς γ' ἑκὼν ἐμοί.|
ἀλλ' εἰ δοκεῖ σοὶ ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός·
καὶ τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς εἱματοφθορεῖν ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' εἰσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίωι χρῆται ζυγῶι·
αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' εἰς δόμων μέλαθρα πορφύρας πατῶν.|
ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς·
οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην,
δόμοισι προυνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη. L3[I]
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' εἰς δόμους, 𝔸
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολόν·
ὅταν δὲ τεύχηι Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοί σοι τῶνπερ ἂν μέλληις τελεῖν.|
♪ τελεσφόροις δίναις κυκλούμενον κέαρ.|
εἴσω κομίζου καὶ σύ, Κασάνδραν λέγω, ?
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μετὰ
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοί φασιν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι δουλίας μάζης τυχεῖν.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις·
οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
ὠμοί τε δούλοις {...} πάντα καὶ παρὰ στάθμην. Aesch.
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.| Ag.
σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων 500

ἐν ὀψικοίτοις δ' ὄμμασι_ βλάβας ἔχω
Aesch. ◆◆ τὰς ἀμφὶ σοὶ κλαίουσα λαμπτηρουχίας
Ag. ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασι_
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωΰσσοντος, ἀμφὶ σοὶ πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
[νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτωι φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
◆◆◆ σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρωι διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.]
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνειχόμεσθα. νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
δμωαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στορνύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
εἰς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνωι νικωμένη|
Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
L4[O] ἀπουσίαι μὲν εἶπας εἰκότως ἐμῆι·
𝔸 μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνηις ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου·
λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίληι.
εἰ πάντα δ' ὣς πράσσοιμεν, εὐθαρσὴς ἐγώ.|
καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.|
γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.|
ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;|
εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.|
τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν;|
ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.|
◆ μή νυν τὸν ἀνθρώπειον αἰδεσθῆις ψόγον.|
φήμη γε μέντοι δημόθρους μέγα σθένει.|
ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.|

καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου. Aesch.
οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν Ag.
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
τοιόσδ' ὁ κόμπος, τῆς ἀληθείας γέμων
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίαι λακεῖν.|
αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
σὺ δ' εἰπέ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν
ἥξει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.|
οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.|
πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.|
ἀνὴρ ἄφαντος ἐξ Ἀχαιϊκοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψεύδη λέγω.|
πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;|
ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ·
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.|
πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;|
οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.|
πῶς γὰρ λέγεις χειμῶνα ναυτικῶι στρατῶι L4[O]
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότωι;| 𝔸
εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλωι
γλώσσηι μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῶι προσώπωι πτωσίμου στρατοῦ φέρηι,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῆι μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα·
τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων·
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά·
ναῦς γὰρ πρὸς ἀλλήλαισι Θρῄκιαι πνοαὶ
ἤρεικον· αἱ δὲ κεροτυπούμεναι βίαι
χειμῶνι τυφῶι σὺν ζάληι τ' ὀμβροκτύπωι,
ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβωι.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,

ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
◆◆ ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ' ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος
ἤτοί τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
664 τύχη δὲ σωτὴρ ναυστολοῦσ' ἐφέζετο,
666 μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' Ἅιδην πόντιον πεφευγότες,
◆◆◆ λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχηι,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τίς ἐστιν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή;
ἡμεῖς τ' ἐκείνους ταὔτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα· Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
χλωρόν τε καὶ βλέποντα, μηχαναῖς Διὸς,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
680 τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλυών.|
810 πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
L4[I] κλυόντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
A εἰς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῶι δ' ἐναντίωι κύτει
ἐλπὶς προσήιει χειρὸς οὐ πληρουμένωι.
καπνῶι δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνήισκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκόπους
ἐπραξάμεσθα καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλυών
καί φημι ταὐτὰ καὶ συνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνων σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
Aesch. ἄχθος διπλοίζει τῶι πεπαμένωι νόσον,
Ag. ◆ τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
350 838 εἰδὼς λέγοιμ' ἄν, εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς,
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·
εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτωι δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
νῦν δ' εἰς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.|
ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνωι δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίωι.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακὸν,
πολλὰς κλύουσαν <κλ>ηδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ L4[I]
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις. A
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέον λέγειν.
εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβὼν,
ἅπαξ ἑκάστωι κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος,
Στροφίος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίωι σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον. Aesch.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει. Ag.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών. 888 400

οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους
Aesch. ◆◆ ἐμοὶ τραφείς τε καὶ καθιερωμένος;
Eum. καὶ ζῶν με δαίσεις οὐδὲ πρὸς βωμῶι σφαγείς·
306 ὕμνον δ' ἀκούσει τόνδε δέσμιον σέθεν.|
397 πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν
ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη,
ἣν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
◆◆◆ ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοί,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
κώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.
καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς
ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν πάρα.
τίνες ποτ' ἐστέ; πᾶσι δ' εἰς κοινὸν λέγω·
βρέτας τε τοὐμὸν τῶιδ' ἐφημένωι ξένωι,
ὑμᾶς δ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ' ἐν θεᾶσι πρὸς θεῶν ὁρωμένας
οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασι_.
λέγειν δ' ἄμομφον ὄντα τοὺς πέλας κακῶς
πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.|
πεύσει τὰ πάντα συντόμως, Διὸς κόρηι.
ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα.
Ἀραὶ δ' ἐν οἴκοις γῆς ὑπαὶ κεκλήμεθα.|
L1[O] γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους.|
𝔹 τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσει τάχα.|
μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.|
βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.|
καὶ τῶι κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;|
ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.|
ἦ καὶ τοιαύτας τῶιδ' ἐπιρροιζεῖς φυγάς;|
φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.|
ἄλλαις ἀνάγκαις, ἤ τινος τρέων κότον;|
ποῦ γὰρ τοσοῦτο_ κέντρον ὡς μητροκτονεῖν;|
δυοῖν παρόντοιν ἥμισυς λόγου πάρα.|
ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, εἰ δοῦναι θέλοιν.|
κλυεῖν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.|
πῶς δή, δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένει.|
ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.|
ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.|
ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;|
πῶς δ' οὔ; σεβούσαί γ' ἀξίαν ἐπαξίων;|
τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις;
λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμυναθοῦ ψόγον·
εἴπερ πεποιθὼς τῆι δίκηι βρέτας τόδε
◆ ἧσαι φυλάσσων ἑστίας ἐμῆς πέλας
σεμνὸς προσίκτωρ ἐν τρόποις Ἰξίονος·
442 τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.|

ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν, Aesch.
ἔθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ Ag.
ὠδῖν', ἐπωιδὸν Θρηικίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆ<ν> σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνηι θεός,
γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν,| 1425
καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν· 1431
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
Ἄτην Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
ἕως ἂν αἴθηι πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ <σ>μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίωι·
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος
ἡ κοινόλεκτρος τοῦδε θεσφατηλόγος
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἱστοτρίβης. ἄτιμα δ' οὐκ ἐπραξάτην.
ὁ μὲν γὰρ οὕτως, ἡ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον L1[O]
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν| 1446 𝔹
♪ δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγ<άν>ει βλάβας| 1535
ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου. 1577
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
χερὸς πατρώιας ἐκτίνοντα μηχανάς
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
αὑτοῦ δ' ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν ηὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῶιον αἱμάξαι πέδον.
αὐτοῦ ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
τὠμῶι, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας 1594
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾶις, γένει. 1597
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον
ᾤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,

λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾶι,
◆◆ οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ τοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίωι πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
◆◆◆ πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.|
Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκηι τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.|
σὺ ταῦτα φωνεῖς νερτέραι προσήμενος
κώπηι, κρατούντων τῶν ἐπὶ ζυγῶι δορός;
γνώσει γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῶι τηλικούτωι, σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾶις ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.|
γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
L1[I] οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα
𝔹 ἀνδρὶ στρατηγῶι τόνδ' ἐβούλευσας μόρον;|
καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾶι,
σὺ δ' ἐξορίνας <ν>ηπίοις ὑλάγμασιν
ἄξει· κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.|
ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
ὃς οὐκ, ἐπειδὴ τῶιδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;|
τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις, οὔ τι δὴ σειραφόρον
κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλὴς <σ>κότωι
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.|
τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες, ἀλλά νιν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν'; Ὀρέστης ἆρά που βλέπει φάος,
Aesch. ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχηι
Ag. 1648 ◆ ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;|
Eum. Πρῶτον μὲν εὐχῆι τῇδε πρεσβεύω θεῶν
2 τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,

ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.
ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,
σῴζων ἐφετμὰς Λοξίου χρηστηρίους,
πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά,
αὐτοῦ φυλάσσων ἀμμενῶ τέλος δίκης.|
εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ.
ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς·
τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν.
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾶι
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν
ἦλθον διώκουσ', οὐδὲν ὑστέρα νεώς.
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακών·
ὀσμὴ βροτείων αἱμάτων με προσγελᾶι. 254
♪ περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου 259
♪ τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαί, 261
♪ ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν 264
♪ ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ
♪ φεροίμαν βοσκὰν πώματος δυσπότου·
♪ καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω, 267
♪ ὄψει δὲ κεἴ τις ἄλλος ἤλιτεν βροτῶν 269
♪ ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια. 272
♪ μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν| 273
ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι 276
σιγᾶν θ' ὁμοίως· ἐν δὲ τῶιδε πράγματι 278 L1[I]
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου· 𝔹
βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερός,
μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει.
ποταίνιον γὰρ ὂν πρὸς ἑστίαι θεοῦ
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος,
ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίαι·
[χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.]
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν ἐμοὶ
μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορὸς
αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν
πιστὸν δικαίως εἰς τὸ πᾶν τε σύμμαχον.
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικῆς
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου,
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,
φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα
θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ,
ἔλθοι, κλύει δὲ καὶ πρόσωθεν ὢν θεός,
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.|
οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος Aesch.
ῥύσαιτ' ἂν ὥστε μὴ οὐ παρημελημένον Eum.
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
ἀναίματον βόσκημα, δαιμόνων σκιά<ν>. 302

λευσμός τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν
Aesch. ◆◆ ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε
Eum. οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι; πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς· λέοντος ἄντρον αἱματορρόφου
οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι.
◆◆◆ ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.|
ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλει,
ἀλλ' εἷς τὸ πᾶν ἔπραξας ὢν παναίτιος.|
πῶς δή; τοσοῦτο_ μῆκος ἔκτεινον λόγου.|
ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.|
ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι. τί μήν;|
κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.|
καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.|
καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς;|
οὐ γὰρ δόμοισι τοῖσδε πρόσφοροι μολεῖν.|
ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.|
τίς ἥδε τιμή; κόμπασον γέρας καλόν.|
τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.|
τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσηι;|
οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος.|
ἦ κάρτ' ἄτιμα, καὶ παρ' οὐδὲν ἠρκέσω
L2[O] Ἥρας τελείας καὶ Διὸς πιστώματα.
𝔹 Κύπρις δ' ἄτιμος τῶιδ' ἀπέρριπται λόγωι,
ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος
ὅρκου 'στὶ μείζων, τῆι δίκηι φρουρουμένη.
εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾶις
τὸ μὴ τίνεσθαι μηδ' ἐποπτεύειν κότωι,
οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.
τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην,
τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.
δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.|
τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.|
σὺ δ' οὖν δίωκε καὶ πόνον πλέον τίθου.|
τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγωι.|
οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.|
μέγας γὰρ ἔμπας πὰρ Διὸς θρόνοις λέγει.
ἐγὼ δ', ἄγει γὰρ αἷμα μητρῶιον, δίκας
μέτειμι τόνδε φῶτα κἀκκυνηγέτω.|
ἐγὼ δ' ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι·
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει
τοῦ προστροπαίου μῆνις, ἢν προδῶι σφ' ἑκών.|
ἄνασσ' Ἀθάνα, Λοξίου κελεύμασιν
◆ ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,
οὐ προστρόπαιον οὐδ' ἀφοίβαντον χέρα,
ἀλλ' ἀμβλὺν ἤδη προστετριμμένον τε πρὸς

ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο @
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῶι τρίτωι Aesch.
λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός, Eum.
Τιτανὶς ἄλλη παῖς Χθονὸς καθέζετο,
Φοίβη· δίδωσι_ δ' ἣ γενέθλιον δόσιν
Φοίβωι· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,
κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
εἰς τήνδε γαῖαν ἦλθε Παρνησσοῦ θ' ἕδρας.
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
ἀνήμερον τιθέντες ἡμερωμένην.
μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα
ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή·
Βρόμιος ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον·
Πλειστοῦ τε πηγὰς καὶ Ποσειδῶνος κράτος
καλοῦσα καὶ τέλειον ὕψιστον Δία, L2[O]
ἔπειτα μάντις ἐς θρόνους καθιζάνω. 𝔹
καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῶι
ἄριστα δοῖεν· κεἰ πάρ' Ἑλλήνων τινές,
ἴτων πάλωι λαχόντες, ὡς νομίζεται.
μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεός.
ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν,
πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,
ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν·
τρέχω δὲ χερσίν, οὐ ποδωκείαι σκελῶν·
δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.
ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν·
ὁρῶ δ' ἐπ' ὀμφαλῶι μὲν ἄνδρα θεομυσῆ
ἕδραν ἔχοντα προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ' ἐλαίας θ' ὑψιγέννητον κλάδον,
λήνει μεγίστωι σωφρόνως ἐστεμμένον,
ἀργῆτι μαλλῶι· τῆιδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος.
οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω,
οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις.
εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας {...}
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται, μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκτροποι·

ῥέγκουσι δ' οὐ πλατοῖσι φυσιάμασιν·
◆◆ ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ λίβα·
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας,
οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
τρέφουσ' ἀνατὶ μὴ μεταστένειν πόνον.
τἀντεῦθεν ἤδη τῶνδε δεσπότηι δόμων
◆◆◆ αὐτῶι μελέσθω Λοξίαι μεγασθενεῖ.
ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.|
οὔτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
ἐγγὺς παρεστὼς καὶ πρόσω δ' ἀποστατῶν
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾶις·
ὕπνωι πεσοῦσαι δ' αἱ κατάπτυστοι κόραι,
Νυκτὸς παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
θεῶν τις οὐδ' ἄνθρωπος οὐδὲ θήρ ποτε·
κακῶν δ' ἕκατι κἀγένοντ', ἐπεὶ κακὸν
σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονός,
μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων.
ὅμως δὲ φεῦγε μηδὲ μαλθαχὸς γένηι.
ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
[βεβῶτ' ἂν' αἰεὶ τὴν πλανοστιβῆ χθόνα]
ὑπέρ τε πόντον καὶ περιρρύτας πόλεις.
L2[I] καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος
𝔹 πόνον· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας.
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες μηχανὰς εὑρήσομεν,
ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῶιον δέμας.|
ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μἀδικεῖν·
ἐπεὶ δ' ἐπίσται, καὶ τὸ μἀμελεῖν μάθε.
σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.|
μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός,
Ἑρμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
ἱκέτην· σέβει τοι Ζεὺς τόδ' ἐκνόμων σέβας,
ὁρμώμενον βροτοῖσιν εὐπόμπωι τύχηι.|
εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ;
ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
ἄλλοισιν ἐν νεκροῖσιν, ὧν μὲν ἔκτανον
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἀλῶμαι· προυννέπω δ' ὑμῖν ὅτι
Aesch. ἔχω μεγίστην αἰτίαν κείνων ὕπο·
Eum. ◆ παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων,
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,
102 κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.

ὅρα δὲ πληγὰς τάσδε καρδίαι ὅθεν.
εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται,
ἐν ἡμέραι δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν.
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάραι πυρὸς
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν.
καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς περὶ
ψυχῆς, φρονήσατ', ὦ κατὰ χθονὸς θεαί.
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμήστρα καλῶ.| 116
μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω·| 118
ἄγαν ὑπνώσσεις κοὐ κατοικτίζει_ πάθος· 121
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.| 122
ὤιζεις, ὑπνώσσεις· οὐκ ἀναστήσει τάχος; 124
τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;|
ὕπνος πόνος τε κύριοι συνωμόται 126
δεινῆς δρακαίνης ἐξεκήραναν μένος.| 128
ὄναρ διώκεις θῆρα, κλαγγάνεις δ' ἅπερ 131
κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου.
τί δρᾶις; ἀνίστω, μή σε νικάτω πόνος,
μηδ' ἀγνοήσηις πῆμα μαλθαχθεῖσ' ὕπνωι.
ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσι_· L2[I]
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται. 𝔹
σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῶι
ἔπου, μάραινε δευτέροις διώγμασιν,
ἀτμῶι κατισχ<ν>αίνουσα, νηδύος πυρί.|
ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σέ.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον,
ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾶι. 142
♪ ἐξ ἀρκύων πέπτωκεν οἴχεται θ' ὁ θήρ. 146
♪ νέος δὲ γραίας δαίμονας καθιππάσω, 150
♪ τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός. 153
♪ ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν 155
♪ τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ 162
♪ ἐφεστίωι δὲ μάντις ὢ<ν> μιάσματι 169
♪ κἀμοί τε λυπρός καὶ τὸν οὐκ ἐκλύσεται,| 174
ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος 179
χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν,
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
χρυσηλάτου θώμιγγος ἐξορμώμενον,
ἀνῆις ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρόν,
ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει· Aesch.
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμωρύχοι Eum.
δίκαι σφαγαί τε σπέρματός τ' ἀποφθοραὶ
παίδων, κακοῦ τε χλοῦνις ἠδ' ἀκρωνία, 188

Eum. ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
1031 ◆◆ τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπηι.|
Proteus σιτουμένην δύστηνον ἀθλίαν φάβα,
[Nauck 206] μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην
Choe. 10 Τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίαι ξυμφορᾶι προσεικάσω;
πότερα δόμοισι πῆμα προσκυρεῖ νέον;
◆◆◆ ἢ πατρὶ τὠμῶι τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγματα;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῶι
πρέπουσαν. ὦ Ζεῦ, δός με τίσασθαι μόρον
πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς
21 μάθω γυναικῶν ἥτις ἥδε προστροπή.|
23 ♪ χοᾶν προπομπὸς ὀξύχειρι σὺν κόπωι·
33 ♪ ὀνειρόμαντις, ἐξ ὕπνου κότον πνέων,
60 ♪ τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον·
66 ♪ δι' αἵματ' ἐκποθέν<θ>' ὑπὸ χθονὸς τροφοῦ,
67 ♪ τίτας φόνος πέπηγεν οὐ διαρρούδαν.
72 ♪ ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ|
84 δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
L1[O] τύμβωι χέουσα τάσδε κηδείους χοὰς
ℂ πῶς εὔφρον' εἴπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλωι φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
χέουσα τόνδε πελανὸν ἐν τύμβωι πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
εὖ τ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν τε τῶν καλῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβωι τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.|
αἰδουμένη σοι βωμὸν ὣς τύμβον πατρὸς
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.|
◆ λέγοις ἄν, ὥσπερ ἠιδέσω τάφον πατρός.|
φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν.|
τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;|
111 πρῶτον μὲν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ.|

ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων @
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα. Aesch.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχων μύσος Eum.
πρὸς χειρὶ τἠμῆι τὸ σὸν ἐφεζόμην βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι ν<ε>οθήλου βοτοῦ.
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω.
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσει τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα·
ξὺν ὧι σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
εἰς οἶκον· ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασι
κρύψασ', ἃ λουτρῶν ἐξεμαρτύρει φόνον.
κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῆι Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίαι,
εἰ μή τι τῶνδ' ἔρξοιμι τοὺς ἐπαιτίους.
σὺ δ' εἰ δικαίως εἴτε μὴ κρῖνον δίκην· L1[O]
πράξας γὰρ ἐν σοὶ πανταχῆ τάδ' αἰνέσω.| ℂ
τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτου<ς> δίκας.
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις·
ὁμῶς δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,
χώραι μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδοι πεσὼν ἄφερτος αἰανὴς νόσος.
τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν
πέμπειν τε τάσδε, πῆμ' ἀμηχάνως τ' ἔχει. ?
ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἀπέσκηψεν τόδε,
φόνων δικαστάς ὁρκίους αἱρουμένη
θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον. {...}
ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
τάξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως,
ὅρκον περῶντας μηδὲν ἐκδίκον φρεσίν.| 489
♪ τὰ πόλλὰ παντόφυρτ' ἄγοντ' ἄνευ δίκας 554
♪ δύαις λαπαδνὸν οὐδ' ὑπερθέοντ' ἄκραν·| 562
κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατειργαθοῦ, 566

σάλπιγξ βροτείου πνεύματος πληρουμένη
◆◆ ὑπέρτονον γήρυμα φαινέτω στρατῶι.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον
καὶ τῶνδ', ὅπως ἂν εὖ καταγνωσθῆι δίκη.|
ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.
τί τοῦδε σοὶ μέτεστι πράγματος λέγε.|
◆◆◆ καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ νόμωι
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν, φόνου δὲ τῶιδ' ἐγὼ καθάρσιος,
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως <τ'> ἐπίσται τήνδε κύρωσον δίκην.|
ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.
ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.
πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.|
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.|
ἔκτεινα· τούτου γ' οὔτις ἄρνησις πέλει.|
ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.|
οὐ κειμένωι πω τόνδε κομπάζεις λόγον.|
εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.|
λέξω· ξιφουλκῶι χειρὶ πρὸς δέρην τεμών.|
L1[I] πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασι_;|
© τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.|
ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;|
καὶ δεῦρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι.|
ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.|
πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμπει πατήρ.|
νεκροῖσί νυν πέπεισθι μητέρα κτανών.|
δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν.|
πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.|
ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανε_.|
τοιγὰρ σὺ μὲν ζῆις, ἡ δ' ἐλευθέρα φόνωι;|
τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῆι;|
οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.|
ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;|
πῶς γάρ σ' ἔθρεψεν ἐντός, ὦ μιαιφόνε,
ζώνης; ἀπεύχει μητρὸς αἷμα φίλτατον;|
ἤδη σὺ μαρτύρησον. ἐξηγοῦ δέ μοι,
Ἄπολλον, εἴ σφε σὺν δίκηι κατέκτανον.
δρᾶσαι γὰρ ὥσπερ ἐστὶν οὐκ ἀρνούμεθα·
ἀλλ' εἰ δικαίως εἴτε μὴ τῆι σῆι φρενὶ
δοκεῖ τόδ' αἷμα κρῖνον, ὡς τούτοις φράσω.|
Aesch. λέξω πρὸς ὑμᾶς, τόνδ' Ἀθηναίας μέγαν
Eum. ◆ θεσμόν δικαίως, μάντις ὢν δ' οὐ ψεύσομαι.
οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
οὐκ ἀνδρός, οὐ γυναικός, οὐ πόλεως πέρι,

θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
ἐν ὧι τις ἔσται δεινὸς εὐκλείας ἔρως·
ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ' ἑλέσθαί σοι πάρεστιν ἐξ ἐμοῦ,
εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.|
οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά,
ὡς μήποτ' εἴπηις πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιὰ καὶ πολισσούχων βροτῶν
ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας,
γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,
οὔτἂν δικαίως τῆιδ' ἐπιρρέποις πόλει
μῆνίν τιν' ἢ κότον τιν' ἢ βλάβην στρατῶι.
ἔξεστι γάρ σοι τῆσδε γαμόρωι χθονὸς
εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένηι.|
ἄνασσ' Ἀθάνα, τίνα με φῂς ἔχειν ἕδραν;|
πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.|
καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;|
ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.|
σὺ τοῦτο πράξεις, ὥστε μὲ σθένειν τόσον;|
τῶι γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.|
καί μοι πρὸ παντὸς ἐγγύην θήσει χρόνου;|
ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ.|
θέλξειν μ' ἔοικας καὶ μεθίσταμαι κότου.| L1[I]
τοιγὰρ κατὰ χθόν' οὖσ' ἐπικτήσει φίλους.| ©
τί οὖν μ' ἄνωγας τῆιδ' ἐφυμνῆσαι χθονί;|
ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου
ἐξ οὐρανοῦ τε κἀνέμων ἀήματα
εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
καρπόν τε γαίας καὶ βοτῶν ἐπίρρυτον
ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνωι,
καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.
στέργω γάρ, ἀνδρὸς φιτυποίμενος δίκην,
τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
τοιαῦτά σοὔστι· τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ
τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.|
αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων
πέμψω τε φέγγει λαμπάδων σελασφόρων
ἐς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους
ξὺν προσπόλοισιν, αἵτε φρουροῦσιν βρέτας
τοὐμόν, δικαίως. ὄμμα γὰρ πάσης χθονὸς
Θησῆιδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος Aesch.
παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων. {...} Eum.
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι_ {...}
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός,

ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
Aesch. ◆◆ τιμῶσιν αἰεὶ τήνδε συμμάχωι δορὶ
Eum. αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.]
καὶ χαῖρε, καὶ σὺ καὶ πολισσοῦχος λεὼς
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις
σωτήριόν τε καὶ δορὸς νικηφόρον.|
♫ ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους
♫ καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
780 ◆◆◆ ♫ ἐγὼ δ' ἄτιμος ἁ τάλαινα βαρύκοτος|
794 ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίαι σέθεν.
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δὲ τῆι γῆι τῆιδε μὴ βαρὺν κότον
σκήψησθε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
τεύξητ', ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς
λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις
ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.|
809 ♫ καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.|
824 οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
L2[O] θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
ℂ κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;
καὶ κλῆιδας οἶδα δώματος μόνη θεῶν,
ἐν ὧι κεραυνός ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπειθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ 'κβάληις ἔπη χθόνα
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια
θύη πρὸ παίδων καὶ γαμηλίου τέλους
836 ἔχουσ' ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον.|
848 ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
850 φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα
γῆς τῆσδ' ἐρασθήσεσθε· προυννέπω τάδε.
οὑπιρρέων γὰρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως {…}
856 τεύξει παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,
858 σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάληις
μήθ' αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας
860 ◆ νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασι,
1450 862 ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσηις Ἄρη
863 ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.

ὃ μὴ κελεύσαι Ζεὺς Ὀλυμπίων πατήρ.
τὸ μὲν δίκαιον τοῦθ' ὅσον σθένει μαθεῖν, Aesch.
βουλῆι πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρός· Eum.
ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.|
Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασε,
φράζειν Ὀρέστηι τῶιδε, τὸν πατρὸς φόνον
πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν;|
οὐ γάρ τι ταὐτὸν ἄνδρα γενναῖον θανεῖν
διοσδότοις σκήπτροισι τιμαλφούμενον,
καὶ ταῦτα πρὸς γυναικός, οὔ τι θουρίοις
τόξοις ἑκηβόλοισιν, ὥστ' Ἀμαζόνος,
ἀλλ' ὡς ἀκούσει, Παλλὰς οἵ τ' ἐφήμενοι
ψήφωι διαιρεῖν τοῦδε πράγματος πέρι.
ἀπὸ στρατείας γάρ νιν ἠμποληκότα
τὰ πλεῖστ' ἄμεινον' εὔφροσιν δεδεγμένη {…}
δροίτηι περῶντι λουτρὰ κἀπὶ τέρματι
φᾶρος περεσκήνωσεν, ἐν δ' ἀτέρμονι
κόπτει πεδήσασ' ἄνδρα δαιδάλωι πέπλωι.
ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος
τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν. 637
ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.| 639
πατρὸς προτιμᾶι Ζεὺς μόρον τῶι σῶι λόγωι·
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;
ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.|
ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν, L2[O]
πέδας μὲν ἂν λύσειας, ἔστι τοῦδ' ἄκος ℂ
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος·
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσηι κόνις
ἅπαξ θανόντος, οὔτις ἔστ' ἀνάστασις.
τούτων ἐπωιδὰς οὐκ ἐποίησεν πατὴρ
οὑμός, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
στρέφων τίθησιν οὐδὲν ἀσθμαίνων μένει.|
πῶς †γὰρ τὸ φεύγειν† τοῦδ' ὑπερδικεῖς ὅρα·
τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδοι,
ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
ποία δὲ χέρνιψ φρατέρων προσδέξεται;|
καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου
τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου.
τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένωι ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψηι θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός, {…}
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
[ἐγὼ δέ, Παλλάς, τἄλλα θ' ὡς ἐπίσταμαι, 1300
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν, 668

καὶ τόνδ᾽ ἔπεμψα σῶν δόμων ἐφέστιον,
◆◆ ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου
καὶ τόνδ᾽ ἐπικτήσαιο σύμμαχον, θεά,
καὶ τοὺς ἔπειτα, καὶ τάδ᾽ αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.]|
ἤδη κελεύω τούσδ᾽ ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων.|
ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος.
◆◆◆ μένω δ᾽ ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.|
τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ᾽ ἄμομφος ὦ;|
ἠχούσαθ᾽ ὧν ἠκούσατ᾽, ἐν δὲ καρδίαι
ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.|
L2[I] κλύοιτ᾽ ἂν ἤδη θεσμόν, Ἀττικὸς λεώς,
ℂ πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
683 [West 704] κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
684 [W 705] αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
685 [W 706] ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
686 [W 683] [ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῶι
687 [W 684] ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον.
689 [W 686] σκηνάς θ᾽, ὅτ᾽ ἦλθον Θησέως κατὰ φθόνον
690 [W 687] στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
691 [W 688] τήνδ᾽ ὑψίπυργον ἀντεπύργωσαν τότε·
692 [W 689] Ἄρει δ᾽ ἔθυον, ἔνθεν ἔστ᾽ ἐπώνυμος
693 [W 690] πέτρα, πάγος τ᾽ Ἄρειος· ἐν δὲ τῶι σέβας
694 [W 691] ἀστῶν φόβος τε συγγενὴς τὸ μἀδικεῖν
695 [W 692] σχήσει τό τ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ὁμῶς,
697 [W 694] κακαῖς ἐπιρροαῖσι· βορβόρωι θ᾽ ὕδωρ
698 [W 695] λαμπρὸν μιαίνων οὔποθ᾽ εὑρήσεις ποτόν.
699 [W 696] τὸ μήτ᾽ ἄναρχον μήτε δεσποτούμενον
700 [W 697] ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
701 [W 698] καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
702 [W 609] τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;]
703 [W 700] τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας
704 [W 701] ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
705 [W 702] ἔχοιτ᾽ ἂν οἷον οὔτις ἀνθρώπων ἔχει,
706 [W 704] οὔτ᾽ ἐν Σκύθαισιν οὔτε Πέλοπος ἐν τόποις.
ταύτην μὲν ἐξέτειν᾽ ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν· ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.|
καὶ μὴν βαρεῖαν τήνδ᾽ ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.|
κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς
ταρβεῖν κελεύω μηδ᾽ ἀκαρπώτους κτίσαι.|
ἀλλ᾽ αἱματηρὰ πράγματ᾽ οὐ λαχὼν σέβεις,
μαντεῖα δ᾽ οὐκέθ᾽ ἁγνὰ μαντεύσει νέμων.|
ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων
◆ πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;|
λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
βαρεῖα χώραι τῆιδ᾽ ὁμιλήσω πάλιν.|

ἀλλ᾽ ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ᾽ ἐγώ.|
τοιαῦτ᾽ ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.|
οὔκουν δίκαιον τὸν σέβοντ᾽ εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;|
σύ τοι παλαιὰν διανομὴν καταφθίσας
οἴνωι παρηπάτησας ἀρχαίας θεάς.|
σύ τοι τάχ᾽ οὐκ ἔχουσα τῆς δίκης τέλος
ἐμεῖ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.|
ἐπεὶ καθιππάζει με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ᾽ ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.|
ἐμὸν τόδ᾽ ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ᾽ Ὀρέστηι τήνδ᾽ ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ᾽ ἐγείνατο,
τὸ δ᾽ ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῶι, κάρτα δ᾽ εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.
νικᾶι δ᾽ Ὀρέστης, κἂν ἰσόψηφος κριθῆι.
ἐκβάλλεθ᾽ ὡς τάχιστα τευχέων πάλους
ὅσοις δικαστῶν τοῦτ᾽ ἐπέσταλται τέλος.|
ὦ Φοῖβ᾽ Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;|
ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ᾽ ὁρᾶις τάδε;|
νῦν ἀγχόνης μοι τέρματ᾽, ἢ φάος βλέπειν.| L2[I]
ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.| ℂ
πεμπάζετ᾽ ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ᾽ ἀπούσης πῆμα γίγνεται μέγα,| **750**
ἀνὴρ ὅδ᾽ ἐκπέφευγεν αἵματος δίκην· **752**
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.|
ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
γαίας πατρώιας ἐστερημένον σύ τοι
κατώικισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
"Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρώιοις, Παλλάδος καὶ Λοξίου
ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
Σωτῆρος, ὃς πατρῶιον αἰδεσθεὶς μόρον
σώζει με μητρὸς τάσδε συνδίκους ὁρῶν."
ἐγὼ δὲ χώραι τῆιδε καὶ τῶι σῶι στρατῶι
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους,
μήτοί τιν᾽ ἄρη δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ᾽ ἐποίσειν εὖ κεκασμένον δόρυ.
[αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
ἀμηχάνοισι πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλη πόνος·

Aesch. Choe.

ἐκ τῶνδέ τοι ταραγμὸς εἰς φρένας πίτνει.|
◆◆ ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
κἀξ ὀμμάτων στάζουσι αἷμα δυσφιλές.|
σώσει καθαρμός· Λοξίας δὲ προσθιγὼν
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.|
ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ', ἐγὼ δ' ὁρῶ·
ἐλαύνομαι δὴ κοὐκέτ' ἂν μείναιμ' ἐγώ.|
ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων
1064 θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.

KEY: ◆ row of last line
🎶 choral trimeter (none)
📜 messenger trimeter (none)
crux

Letters not underlined:
Dindorf (Teubner 1870) and
West (Teubner 1999) agree.

first word(s) of line OUTLINED:
first trimeter of new speaker.

L1[O] 𝔻

ΑΓΑΜΕΜΝΟΝ

LINE RANGE	BOOKLET RANGE	LINE RANGE	BOOKLET RANGE
1-320	**1-100**		
321-557	**101-200**	1049-1237	**501-600**
558-658	**201-300**	1238-1356	**601-700**
659-888	**301-400**	1357-1600	**701-800**
889-1048	**401-500**	1601-1648	**801-848**

ΕΥΜΕΝΙΔΕΣ

LINE RANGE	BOOKLET RANGE	LINE RANGE	BOOKLET RANGE
1-52	**849-900**	568-668	**1201-1300**
53-188	**901-1000**	669-771	**1301-1400**
189-302	**1001-1100**	772-1029	**1401-1500**
303-566	**1101-1200**	1030-1031	**1501-1502**

Πρωτεύς **[Nauck 206] 1503-1504**

ΧΟΗΦΟΡΟΙ

LINE RANGE	BOOKLET RANGE	LINE RANGE	BOOKLET RANGE
10-176	**1505-1600**		
177-279	**1601-1700**	735-910	**1901-2000**
280-554	**1701-1800**	911-1055	**2001-2100**
555-734	**1801-1900**	1056-1064	**2101-2109**

Aesch. Choe.

ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξομαι τάδε;|
αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.|
τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;|
μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.|
εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.|
τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη|
τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.|
ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα|
πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;|
ἁπλως τὶ φράζουσ', ὅστις ἀνταποκτενεῖ.|
καὶ ταῦτά μοὐστὶν εὐσεβῆ θεῶν πάρα;|
πῶς δ' οὔ τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;| {...} **123**
τοὺς γῆς ἔνερθε δαίμονας κλυεῖν ἐμὰς **125**
εὐχὰς, πατρῴων δωμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτὴν, ἣ τὰ πάντα τίκτεται,
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει· **128**
λέγω καλοῦσα, "πατέρ, ἐποίκτιρόν τ' ἐμὲ **130**
φίλον τ' Ὀρέστην φῶς ἄναξομεν δόμοις.
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
φεύγων Ὀρέστης ἐστὶν, οἱ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ· L1[O]
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ 𝔻
μητρὸς γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ' ἐναντίοις
λέγω φανῆναι σου, πάτερ, τιμάορον,
καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην· **144**
[κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·] **146**
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρωι."
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.| **151**
ἔχει μὲν ἤδη ≤γ≥απότου≤ς≥ χοὰς πατήρ· **164**
κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω,
νέου δὲ μύθου τοῦδε κοινωνήσατε.|
λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβωι.|
ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφωι.|
τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;|
εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.|
πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;|
οὐκ ἔστιν ὅστις πλὴν ἑνὸς κείραιτό νιν.|
ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.|
καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.|
ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.|
αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.| 176

μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦι τόδε;|
◆◆ μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.|
καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;|
ἔπεμψε χαίτην κουρίμην χάριν πατρί.|
οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.|
κἀμοὶ προσέστη καρδίας κλυδώνιον
χολῆς, ἐπαίσθην δ' ὡς διανταίωι βέλει·
◆◆◆ ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφαρκτοι δυσχίμου πλημυρίδος,
πλόκαμον ἰδούσηι τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμή γε μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου· σαίνομαι δ' ὑπ' ἐλπίδος.
εἴθ' εἶχε φωνὴν ἔμφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην,
? ἀλλ' ἢ σάφ' ἦν τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοὶ
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
L1[I] οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
𝔻 στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
205 καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
207 καὶ γὰρ δύ' ἐστὸν τῶδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός.
{...} πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις·
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.|
εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.|
ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;|
εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.|
καὶ τίνα σύνοισθά μοι καλουμένηι βροτῶν;|
σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.|
καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;|
ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.|
ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις;|
αὐτὸς κατ' αὐτοῦ τἄρα μηχανορραφῶ.|
ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.|
κἂν τοῖς ἐμοῖσιν, εἴπερ ἐν _ τοῖς_ σοῖς ἐγώ.|
Aesch. ◆ ὡς ὄντ' Ὀρέστην ἄρα σ' ἐγὼ προσεννέπω;|
Choe. αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ.
226 κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχὸς
down one ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ.

δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν.
ἄρκύν τ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φηλήτης ἀνὴρ,
ξένων ἀπαιόλημα κἀργυροστερῆ
βίον νομίζω≤ν≥, τῶιδέ τἂν δολώματι
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
τοιάδ' ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ'· ὀλοίμην πρόσθ≤εν≥ ἐκ θεῶν ἄπαις.| **1006**
ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι **1010**
φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος. @
φόνου δὲ κηκὶς ξὺν χρόνωι ξυμβάλλεται,
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρών,
πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε.
ἀλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα.| **1017**
ἀλλ', ὡς ἂν εἰδῆτ', οὐ γὰρ οἶδ' ὅπηι τελεῖ, **1021**
ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶν δρόμου
ἐξωτέρω. φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι· πρὸς δὲ καρδίαι φόβος
ἄιδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότωι.
ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις,
κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης,
πατροκτόνον μίασμα καὶ θεῶν στύγος.
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοὶ **L1[I]**
πράξαντι μὲν ταῦτ' ἐκτὸς αἰτίας κακῆς 𝔻
εἶναι, παρέντα δ' οὐκ ἐρῶ τὴν ζημίαν·
τόξωι γὰρ οὔτις πημάτων προσίξεται.
καὶ νῦν ὁρᾶτέ μ', ὡς παρεσκευασμένος
ξὺν τῶιδε θαλλῶι καὶ στέφει προσίξομαι
μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον,
πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
φεύγων τόδ' αἷμα κοινόν· οὐδ' ἐφ' ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τά_δ' ἐν χρόνωι μοι πάντας Ἀργείους λέγω **1040**
ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος, {...} **1042**
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.|
ἀλλ' εὖ γ' ἔπραξας, μηδ' ἐπιζευχθῆι≤ς≥ στόμα
φήμηι πονηρᾶι μηδ' ἐπιγλωσσῶ κακά·
ἐλευθερώσας πᾶσαν Ἀργείων πόλιν,
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.|
δμωαὶ γυναῖκες αἵδε Γοργόνων δίκην
φαιοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν· οὐκέτ' ἂν μείναιμ' ἐγώ.|
τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων, πάλιν
στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ, νικῶν πολύ.| **Aesch.**
οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί· **Choe.**
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.|
ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·

καὶ τόνδε τοίνυν Μοῖρ' ἐπόρσυνεν μόρον.|
Aesch. ◆◆ οὐδὲν σεβίζει γενεθλίους ἀράς, τέκνον;|
Choe. τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.|
οὔτοι σ' ἀπέρριψ' ἐς δόμους δορυξένους.|
διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρός.|
ποῦ δῆθ' ὁ τῖμος, ὅντιν' ἀντεδεξάμην;|
αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς.|
μᾶλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.|
◆◆◆ μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.|
ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.|
τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.|
κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.|
σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.|
ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.|
τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;|
ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.|
πατρὸς γὰρ αἶσα τόνδε ἐπουρίζει μόρον.|
οἲ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
ἦ κάρτα μάντις οὒξ ὀνειράτων φόβος.|
{…} ἔκανες τὸν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.|
στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν·
ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
934 ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.|
973 ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
L2[O] πατροκτόνους τε δωμάτων πορθήτορας.
𝔻 σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι,
φίλοι τε καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκός τ' ἐμμένει πιστώμασι·
ξυνώμοσαν μὲν θάνατον ἀθλίωι πατρὶ
καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὐόρκως ἔχει.
ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίωι πατρί,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ' αὐτὸ καὶ κύκλωι παρασταδὸν
στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδηι πατήρ,
οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
{Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς.}
ὡς ἂν παρῆι μοι μάρτυς ἐν δίκηι ποτέ,
ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμος, δίκην·
ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν,
τί σοι δοκεῖ, μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ
◆ σήπειν θιγοῦσ' ἂν ἄλλον οὐ δεδηγμένον
τόλμης ἕκατι κἀκδίκου φρονήματος.
τί νιν προσειπὼ καὶ τύχω μάλ' εὐστομῶν;
998 ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον

ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς {…}
σαυτῆς ἀδελφοῦ συμμέτρου τὠμῶι κάραι· Aesch.
σκέψαι τομῆι προσθεῖσα βόστρυχον τριχὸς up one Choe.
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός, .
σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν.
ἔνδον γενοῦ, χαρᾶι δὲ μὴ 'κπλαγῆις φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῶιν ὄντας πικρούς.|
ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῆι πεποιθὼς δῶμ' ἀνακτήσει πατρός.|
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστός τ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων· 243
πάντων μεγίστωι Ζηνὶ συγγένοιτό μοι. 245
Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ· 246
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασι 248
δεινῆς ἐχίδνης· τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελῆς
θήραν πατρώιαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν <λ>έγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καὶ σε τιμῶντος μέγα L2[O]
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας πόθεν 𝔻
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' ἀετοῦ γένεθλ' ἀποφθείρας, πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπιθῆ βροτοῖς·
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασι.
κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.|
ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείληι τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.|
οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους·
[τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
ἀποχρημάτοισι ζημίαις ταυρούμενον·
αὐτὸν δ' ἔφασκε τῆι φίλῃ ψυχῆι τάδε
τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μηνίγματα
βροτοῖς πιφαύσκων εἶπε, τὰς δὲ νῶιν νόσους, 279

σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
◆◆ λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν·
λευκὰς δὲ κόρσας τῇιδ' ἐπαντέλλειν νόσωι·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ τῶν πατρώιων αἱμάτων τελουμένας, {...}
ὁρῶντα λαμπρόν, ἐν σκότωι νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,
◆◆◆ καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεσθαι πόλεως
χαλκηλάτοι πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβὸς,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν· δέχεσθαι <δ'> οὔτε συλλύειν τινά.
πάντων δ' ἄτιμον κἄφιλον θνήισκειν χρόνωι
κακῶς ταριχευθέντα παμφθάρτωι μόρωι.]
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι;
κεἰ μὴ πέποιθα, τοὔργόν ἐστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξωι φρενὶ,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν.
L2[I] θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.|
𝔻 479 πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένωι μοι δὸς κράτος τῶν σῶν δόμων.|
481 κἀγὼ πάτερ, τοιά<ν>δέ σου χρείαν ἔχω,|
483 οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ'· εἰ δὲ μή, παρ' εὐδείπνοις ἔσει
ἄτιμος ἐμπύροισι κνισωτοῖς χθονός.|
κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρώιων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.|
ὦ γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.|
ὦ Περσέφασσα, δὸς δέ γ' εὔμορφον κράτος.|
μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.|
μέμνησο δ' ἀμφίβληστρον ᾧι σ' ἐκαίνυσαν,|
πέδαις δ' ἀχαλκεύτοις ὅθ' ἡιρέθης, πάτερ,|
αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.|
ἆρ' ἐξεγείρει τοῖσδ' ὀνείδεσιν, πάτερ;|
ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;|
ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος λαβὰς λαβεῖν,
εἴπερ κρατηθεὶς γ' ἀντινικῆσαι θέλεις.|
Aesch. ◆ καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ,
Choe. ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφωι·
οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόον.|
503 καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε·

ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
μόρον γ' Ὀρέστου. καὶ τόδ' αὖ φέρειν δόμοις
γένοιτ' ἂν ἄχθος αἱματοσταγὲς φόνωι
τῶι πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένωι.
πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι θρώσκουσι, θνῄσκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;|
ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
εἴσω παρελθών. οὐδὲν ἀγγέλων σθένος
ὡς αὐτὸν αὐτῶν ἄνδρα πεύθεσθαι πέρι.|
ἰδεῖν ἐλέγξαί τ' αὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνῄσκοντος ἐγγύθεν παρὼν,
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
οὔτοι φρέν' ἂ<ν> κλέψειεν ὠμματωμένην.| 854
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν. 876
Αἴγισθος οὐκέτ' ἔστιν. ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα, καὶ γυναικείους πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
οὐχ ὥστ' ἀρῆξαι διαπεπραγμένωι· τί γάρ;
κωφοῖς ἀϋτῶ καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμήστρα; τί δρᾶι;|
ἔοικε νῦν αὐτῆς ἐπι ξυροῦ πέλας
αὐχὴν πεσεῖσθαι πρὸς δίκης πεπληγμένος.|
τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;|
τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.| L2[I]
οἴ 'γώ· ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων. 𝔻
δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα.
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.|
σὲ καὶ ματεύω· τῶιδε δ' ἀρκούντως ἔχει.|
οἴ 'γώ· τέθνηκας, φίλτατ' Αἰγίσθου βία.|
φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῶι τάφωι
κείσει· θανόντα δ' οὔτι μὴ προδῶις ποτέ.|
ἐπίσχες ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον,
μαστόν, πρὸς ὧι σὺ πολλὰ δὴ βρίζων ἅμα
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.|
Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;|
ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα, πιστά τ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.|
κρίνω σε νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω·
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
τούτωι θανοῦσα συγκάθευδ', ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς.| Aesch.
ἐγώ σ' ἔθρεψα, σὺν δὲ γηράναι θέλω.| Choe.
πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;|
ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία.|

ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
Aesch. ◆◆ ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
Choe. ἐλθὼν πύθηται τήνδε. πρὸς μὲν οἰκέτας
θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων,
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς
κείνηι, δόμοις δὲ τοῖσδε παγκάκως ἔχειν
φήμης ὕφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλυὼν ἐκεῖνος εὐφρανεῖ νόον,
◆◆◆ εὖτ' ἂν πύθηται μῦθον. ὢ τάλαιν' ἐγώ·
ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ' ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,
καὶ νυκτιπλάγκτων ὀρθίων κελευμάτων
{...} καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ
τλάσηι· τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν
τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπωι φρενός·
οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις,
εἰ λιμὸς, ἢ δίψη τις, ἢ λιψουρία
ἔχει· νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
τούτων πρόμαντις οὖσα, πολλὰ δ', οἴομαι,
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,
L3[O] κναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
𝔻 ἐγὼ διπλᾶς δὴ τάσδε χειρωναξίας
ἔχουσ' Ὀρέστην ἐξεδεξάμην πατρί.
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
οἴκων, θέλων δὲ τόνδε πεύσεται λόγον.|
πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;|
ὅπως; λέγ' αὖθις, ὡς μάθω σαφέστερον.|
εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ.|
ἄγειν κελεύει δορυφόρους ὀπάονας.|
μή νυν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει·
ἀλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύηι,
ἄνωχθ' ὅσον τάχιστα γηθούσηι φρενί.
ἐν ἀγγέλωι γὰρ κυπτὸς ὀρθοῦται λόγος.|
ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;|
ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.|
καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.|
οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.|
τί φῄς; ἔχεις τι τῶν λελεγμένων δίχα;|
ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα.
μέλει θεοῖσιν ὧνπερ ἂν μέληι πέρι.|
◆ ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
782 γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.|
838 ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος·
839 νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς

οὔτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών·
παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι Aesch.
θανόντι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον, Choe.
τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου.
ἄκου', ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα.
αὐτὸς δὲ σῴζει τόνδε τιμήσας λόγον.|
καὶ μὴν ἀμεμφῆ τόνδ' ἐτείνατον λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ', ἐπειδὴ δρᾶν κατώρθωσαι φρενὶ,
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.|
ἔσται· πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος;
θανόντι δ' οὐ φρονοῦντι δειλαία χάρις
ἐπέμπετ'· οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε
τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.|
οἶδ', ὦ τέκνον, παρῆ γάρ· ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.|
ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;|
τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.|
καὶ ποῖ τελευτᾶι καὶ καρανοῦται λόγος;|
ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.| L3[O]
τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;| 𝔻
αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.|
καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους;|
ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.|
οὔτοι μάταιον ἂν τόδ' ὄψανον πέλοι.|
ἡ δ' ἐξ ὕπνου κέκλαγγεν ἐπτοημένη,
πολλοὶ δ' ἀνῆιθον, ἐκτυφλωθέντες σκότωι,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
πέμπει δ' ἔπειτα τάσδε κηδείους χοὰς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.|
ἀλλ' εὔχομαι γῆι τῆιδε καὶ πατρὸς τάφωι
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον.
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ 543
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον, 545
θρόμβοι δ' ἔμιξεν αἵματος φίλον γάλα,
ἡ δ' ἀμφὶ τάρβει τῶιδ' ἐπώιμωξεν πάθει,
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.[|]
τερασκόπον δὴ τῶνδε σ' αἱροῦμαι πέρι.|
γένοιτο δ' οὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις.|
ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω, down one
τοὺς δ' ἔν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγω_.| up one 554

αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
◆◆ ὡς ἂν δόλωι κτείναντες ἄνδρα τίμιον
δόλωι γε καὶ ληφθῶσιν ἐν ταὐτῶι βρόχωι
θανόντες, ᾗι καὶ Λοξίας ἐφήμισεν,
ἄναξ Ἀπόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
ξένωι γὰρ εἰκώς, παντελῆ σαγὴν ἔχων,
ἥξω ξὺν ἀνδρὶ τῶιδ᾽ ἐφ᾽ ἑρκείους πύλας
Πυλάδηι, ξένος δὲ καὶ δορύξενος δόμων.
◆◆◆ ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησσίδα,
γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾶι φρενὶ
δέξαιτ᾽, ἐπειδὴ δαιμονᾶι δόμος κακοῖς.
μενοῦμεν οὕτως ὥστ᾽ ἐπεικάζειν τινὰ
δόμους παραστείχοντα καὶ τάδ᾽ ἐννέπειν
"τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργετε,
Αἴγισθος εἴπερ οἶδεν ἔκδημός περ ὤν;"
εἰ δ᾽ οὖν ἀμείψω βαλὸν ἑρκείων πυλῶν
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἀρεῖ, σάφ᾽ ἴσθι, καὶ κατ᾽ ὀφθαλμοὺς βαλεῖ,
πρὶν αὐτὸν εἰπεῖν "ποδαπὸς ὁ ξένος;" νεκρὸν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι·
φόνου δ᾽ Ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
νῦν οὖν σὺ μὲν φύλασσε τἀν οἴκωι καλῶς,
L3[I] ὅπως ἂν ἀρτίκολλα συμβαίνηι τάδε·
𝔻 ὑμῖν δ᾽ ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ᾽ ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
τὰ δ᾽ ἄλλα τούτωι δεῦρ᾽ ἐποπτεῦσαι λέγω
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.|
παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
τίς ἔνδον, ὦ παῖ, παῖ, μάλ᾽ αὖθις, ἐν δόμοις;
τρίτον τόδ᾽ ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξεν᾽ ἐστὶν, Αἰγίσθου βίαν.|
εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;|
ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ᾽, ὡς καὶ νυκτὸς ἅρμ᾽ ἐπείγεται
σκοτεινόν, ὥρα δ᾽ ἐμπόρους καθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος
αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὖσ᾽ ἐπαργέμους
λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρὸς ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέκμαρ.|
ξένοι, λέγοιτ᾽ ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ᾽ ἐπεικότα,
Aesch. ◆ καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτηρία,
Choe. στρωμνὴ δικαίων τ᾽ ὀμμάτων παρουσία.
εἰ δ᾽ ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ᾽ ἐστὶν ἔργον, οἷς κοινώσομεν.

ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·|
στείχοντα δ᾽ αὐτόφορτον οἰκείαι σαγῆι
εἰς Ἄργος, ὥσπερ δεῦρ᾽ ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ᾽ εἶπε συμβαλὼν ἀνὴρ,
ἐξιστορήσας καὶ σαφηνίσας ὁδόν,
Στροφίος ὁ Φωκεύς· πεύθομαι γὰρ ἐν λόγωι·
"ἐπείπερ ἄλλως, ὦ ξέν᾽, εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας πανδίκως μεμνημένος
τεθνεῶτ᾽ Ὀρέστην εἰπέ, μηδαμῶς λάθηι.
εἴτ᾽ οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ᾽ οὖν μέτοικον, ἐς τὸ πᾶν αἰεὶ ξένον,
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου."
τοσαῦτ᾽ ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων
οὐκ οἶδα τὸν τεκόντα δ᾽ εἰκὸς εἰδέναι.|
οἳ ᾽γώ, κατ᾽ ἄκρας εἶπας ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρά,
ὡς πόλλ᾽ ἐπωπᾶις κἀκποδὼν εὖ κείμενα,
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
καὶ νῦν Ὀρέστης, ἦν γὰρ εὐβόλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα,
νῦν δ᾽ ἥπερ ἐν δόμοισι βακχείας καλῆς
ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.| L3[I]
ἐγὼ μὲν οὖν ξένοισιν ὧδ᾽ εὐδαίμοσι 𝔻
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωστὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας <δ᾽> ἦν ἐμοὶ τόδ᾽ ἐν φρεσί,
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.|
οὔτοι κυρήσεις μεῖον᾽ ἀξίας σέθεν,
οὐδ᾽ ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ᾽ ὁμοίως ἦλθεν ἂν τάδ᾽ ἀγγελῶν.
ἀλλ᾽ ἔσθ᾽ ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ᾽ αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα.
αἰνῶ δὲ πράσσειν ὡς ἐπ᾽ εὐθύνωι τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευ<σ>όμε<σ>θα τῆσδε συμφορᾶς πέρι.|
ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακόν·
τροφὸν δ᾽ Ὀρέστου τήνδ᾽ ὁρῶ κεκλαυμένην. Aesch.
ποῖ δὴ πατεῖς Κίλισσα, δωμάτων πύλας; Choe.
λύπη δ᾽ ἄμισθός ἐστί σοι ξυνέμπορος.|
Αἴγισθον ἡ κρατοῦσα τοῖς ξένοις καλεῖν

PROTEUS

EXCLUDED AFTER **1504**:

{…} *καὶ τὸν ἰχθύων γάρον*

CHOEPHOROI

COMPLETE TRIMETERS IN FRAGMENTS:

fr. 1 Ἑρμῆ χθόνιε πατρῷ’ ἐποπτεύων κράτη,
fr. 1 σωτὴρ γενοῦ μοι ξύμμαχός τ’ αἰτοθμένωι·
fr. 1 ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
fr. 4 τύμβου δ’ ἐπ’ ὄχθωι τῶιδε κηρύσσω πατρὶ {…}
fr. 4 τὸν δεύτερον δὲ τόνδε πενθητήριον {…}
fr. 7a οὐ γὰρ παρ<ὼν> ᾤμοξα σόν, πάτερ, μόρον,
οὐδ’ ἐξέτεινα χεῖρ’ ἐπ’ ἐκφορᾶι νεκροῦ.

AGAMEMNON

EXCLUDED (OR “KILLED”):

304 ὤτρυνε θεσμὸν †μὴ ῥαχίζεσθαι† πυρός·
539 χαίρω τι· †τεθνάναι† δ’ οὐκέτ’ ἀντερῶ θεοῖς.
546 ὡς πόλλ’ ἀμαυρᾶς ἐκ φρενός <μ’> ἀναστένειν.
547 πόθεν τὸ δύσφρον τοῦτ’ ἐπῆν στύγος †στρατῶι†;
597 θυηφάγον †κοιμῶντες† εὐώδη φλόγα.
665 ὡς μήτ’ †ἐν ὅρμωι† κύματος ζάλην ἔχειν
913 θήσει δικαίως ξὺν θεοῖς †εἱμαρμένα†.
1055 οὔτοι θυραίαν †τῆιδ’† ἐμοὶ σχολὴ πάρα
1090 ♫ {ἆ ἆ·} μισόθεον μὲν οὖν, πολλὰ συνίστορα
1092 ♫ ἀνδροσφαγεῖον καὶ †πεδορραντήριον†.
1197 †λόγωι† παλαιὰς τῶνδ’ ἁμαρτίας δόμων.
1216 στροβεῖ ταράσσων φροιμίοις †ἐφημένους†.
1343 ὤμοι, πέπληγμαι καιρίαν †πληγὴν ἔσω†.
1377 ἐμοὶ δ’ ἀγὼν ὅδ’ οὐκ ἀφρόντιστος †πάλαι
1378 νείκης παλαιᾶς† ἦλθε, σὺν χρόνωι γε μήν.
1388 οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει †πεσών†
1447 †εὐνῆς† παροψώνημα τῆς ἐμῆς χλιδῆς.
1595 ἔθρυπτ’ †ἄνωθεν ἀνδρακὰς καθήμενος
1596 ἄσημ’·† ὁ δ’ αὐτῶν αὐτίκ’ ἀγνοίαι λαβὼν

INCLUDED:

7 †ἀστέρας† ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
1079 ♫ ἥδ’ αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ,
1080 ♫ οὐδὲν προσήκουτ’ ἐν γόοις παραστατεῖν.|
1093 ♫ ἔοικεν εὔρις ἡ ξένη κυνὸς δίκην

CHOEPHOROI

EXCLUDED:

32 ♫ τορὸς γὰρ {Φοῖβος} ὀρθόθροιξ δόμων
124 <ἄρηξον,> Ἑρμῆ χθόνιε, κηρύξας ἐμοὶ
129 κἀγὼ χέουσα τάσδε χέρνιβας †βροτοῖς†·
145 ταῦτ’ ἐν μέσωι τίθημι †τῆς κακῆς ἀρᾶς,†
206 †ποδῶν ὅμοιοι† τοῖς τ’ ἐμοῖσιν ἐμφερεῖς.
244 <μόνον> Κράτος τε καὶ Δίκη σὺν τῶι τρίτωι
247 ἰδοῦ δὲ γένναν <εὖν>ιν ἀετοῦ πατρὸς,
482 φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθωι <μόθον>.
544 οὔφις †ἐπ’ ἀμὰ σπαργαν’ ἠπλείζετο,†
875 οἴμοι, πανοίμοι δεσπότου †τελουμένου†,
664 γυνὴ †τόπαρχος†, ἄνδρα δ’ εὐπρεπέστερον·
1041a <μνήμηι φυλάσσειν οἷ’> ἐπορσύνθη κακά
1041b καὶ μαρτυρεῖν μοι Μενέλεως <ἐὰν μόληι·>

EUMENIDES

EXCLUDED:

119 †φίλοις γάρ εἰσιν, οὐκ ἐμοί,† προσίκτορες.
277 †πολλοὺς καθαρμοὺς,† καὶ λέγειν ὅπου δίκη
409a <ὑμῖν τε· τόνδε μὲν γὰρ ἐν ξένοις λέγω,>
567 ___ †εἴτ’† οὖν διάτορος Τυρσηνικὴ
638 †ταύτην τοιαύτην† εἶπον, ὡς δηχθῆι λεώς,
652 πῶς †γὰρ τὸ φεύγειν† τοῦδ’ ὑπερδικεῖς ὅρα·
688 πάγον δ’ †Ἄρειον† τόνδ’, Ἀμαζόνων ἕδραν
696 [W 693] αὐτῶν πολιτῶν μὴ † πικαινόντων† νόμους
751 †βαλοῦσά τ’ οἶκον† ψῆφος ὤρθωσεν μία.
849 †καὶ τῶι μὲν† εἶ σὺ κάρτ’ ἐμοῦ σοφωτέρα,
857 †ὅσην† παρ’ ἄλλων οὔποτ’ ἂν σχέθοις βροτῶν.
861 μητ’ †ἐξελοῦσ’ ὡς† καρδίαν ἀλεκτόρων

INCLUDED:

652 πῶς †γὰρ τὸ φεύγειν† τοῦδ’ ὑπερδικεῖς ὅρα·

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

Notes

Notes